e | rara

www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

## Bolzanio, Urbano

## Venetiis, [Aug. 1496]

## Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[Ex scriptis Ioannis grammatici de idiomatibus]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

## ΠΕΡΙ ΔΙΑΛΕΚΤΩΝ ΕΚ ΤΩΝ ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΕΧΝΙΚΩΝ :~

ΔΙΑΛΕκτός ἐστι γλώττης ἰδίωμα. εἰσὶ δὲ διάλεκτοι πέντε. ἀτθίς. δωρίς. αἰολίς. ἰάς. κοινή. καὶ ἀτθὶς μὲν ἐκλήθη ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός. αἰολὶς δὲ, ἀπὸ αἰόλου τοῦ ἕλληνος. δωρὶς δὲ, ἀπὸ δώρου τοῦ ἕλληνος. ἰὰς δὲ, ἀπὸ ἴωνος τοῦ ξούθου καὶ κρεούσης τῆς ἐρεχθέως θυγατρός. κοινὴ δὲ, ἐκ τῶν τεσσάρων συνεστῶσα. ἔχει δὲ ἑκάστη διάλεκτος οἰκεῖον ἰδίωμα.

## ΠΕΡΙ ΔΙΑΛΕΚΤΩΝ ΠΡΟΟΙΜΙΟΝ ΕΤΕΡΟΝ.

Διάλεκτοι πέντε. ἰάς. ἀτθίς. δωρίς. αἰολίς. κοινή.

## ΠΕΡΙ ΙΑΔΟΣ :~

Ἰὰς δέ ἐστιν, ᾗ κέχρηνται ἴωνες. δοκεῖ δὲ, ἀρχαίαν εἶναι αὐτοῖς. ἴδιον δὲ αὐτῆς ἐστιν, ἀντὶ τοῦ ᾱ, τῷ η̄ κεχρῆσθαι. καὶ τὰς περισπωμένας συλλαβὰς εἰς δύο διαιρεῖν. καὶ ἀντὶ τοῦ π̄, τὸ κ̄ λαμβάνειν. καὶ ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν, ψιλότητας ἐκφέρειν. καὶ ἐπί τινων λέξεων, τὸ ῑ ὑπεξαιρεῖν. Χρῶνται μὲν οὖν τῷ η̄ ἀντὶ τοῦ ᾱ, οἷον θύρην ἀντὶ τοῦ θύραν. καὶ ἡμέρην ἀντὶ τοῦ ἡμέραν. καὶ ὠφελείην ἀντὶ τοῦ ὠφέλειαν. τὰς δὲ περισπωμένας συλλαβὰς, εἰς δύο διαιροῦσιν. ἀντὶ τοῦ ποιεῖν γὰρ, ποιέειν λέγουσιν. ἀντὶ τοῦ π̄ τὸ κ̄ λαμβάνουσι. τὸ γὰρ πῶς, κῶς λέγουσιν. ἀντὶ τῶν δασυνουσῶν συναλοιφῶν ψιλότητας ἐκφέρουσιν, ὅταν γὰρ λέγωσιν ἀντὶ τοῦ ἐφίππων, ἐπίππων. καὶ ἐφορᾶν, ἐπορᾶν. ἐπὶ δέ τινων λέξεων τὸ ῑ ὑπεξαιροῦσιν. ἀντὶ τοῦ πονεῖσθαι, πονέεσθαι λέγοντες. ἰὰς δὲ, ἀπὸ ἴωνος τοῦ ἀπόλλωνος καὶ κρεούσης θυγατρός.

## ΠΕΡΙ ΑΤΘΙΔΟΣ :~

Ἀτθὶς δέ ἐστι διάλεκτος, ᾗ κέχρηνται ἀθηναῖοι. ἴδιον δὲ αὐτῆς ἐστι, κατακόρως κεχρῆσθαι ταῖς συναλοιφαῖς. καὶ τὰς λέξεις ἀδιαιρέτως ἐκφέρειν. ἔτι δὲ καὶ τὸ τ̄ καὶ ξ̄, ἀντὶ σ̄ λαμβάνειν. καὶ τὸ ῡ,

ἀντὶ τοῦ ε. καὶ ἀντὶ τοῦ σ τὸ ξ. ταῖς μὲν τῶν συναλοιφαῖς, κατακόρως χρῶνται. ὅταν λέγωσι θοἰμάτιον ἀντὶ τοῦ ἱμάτιον. καὶ φροίμιον ἀντὶ τοῦ προοίμιον. ἀδιαιρέτως δέ τινας τῶν λέξεων ἐκφέρουσιν. ὅταν λέγωσι παιδῷον, ἀντὶ τοῦ παιδώϊον. καὶ νηρῇδα, ἀντὶ τοῦ νηρηΐδα. καὶ τὸ ρ καὶ τ, ἀντὶ τοῦ σ λαμβάνουσι. τὴν θάλασσαν γάρ, θάλατταν. καὶ τὸ πράσσειν πράττειν. πάλιν ἀντὶ τοῦ θαρσαλέως. ἄρσενα. θαρραλέως. ἄρρενα λέγουσιν. ἀντὶ τοῦ ε τὸ υ λαμβάνουσιν, ὅταν λέγωσι τοὔνδυμα, τὸ ἔνδυμα. τοὔγκλιμα, τὸ ἔγκλιμα. τοὔλαιον, τὸ ἔλαιον. τοὐπίσημον. τὸ ἐπίσημον τοὔργον, τὸ ἔργον. ἀντὶ δὲ τοῦ σ τὸ ξ, ὅταν λέγωσι ξύμπας, ἀντὶ τοῦ σύμπας καὶ ξυμφοράν ἀντὶ τοῦ συμφοράν. καὶ ξυνένηκεν, ἀντὶ τοῦ συνένηκεν. καὶ ξύμβολον, ἀντὶ τοῦ σύμβολον. καὶ ξυνθήκη, ἀντὶ τοῦ συνθήκη. ἐκλήθη δὲ ἀτθίς, ἢ τῶν ἀθηνῶν ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός.

## ΠΕΡῚ ΔΩΡΊΔΟΣ:~

Δωρὶς δὲ κέκληται διάλεκτος, ᾗ κέχρηνται δωριεῖς. ἴδιον δὲ αὐτῶν ἐστίν, ἀντὶ τοῦ α, τῷ η χρῆσθαι. καὶ ἀντὶ τοῦ ω, τῷ α. ἀντὶ δὲ θηλυκῶν ὀνομάτων γενικῶν, πληθυντικὰς πτώσεις ἐκφέρειν. καὶ ἀντὶ τῆς ου διφθόγγου τῷ ω χρῆσθαι. καὶ ἀντὶ τῆς ει, τὸ η παραλαμβάνειν. καὶ ποτὲ ἀντὶ τοῦ θ, τὸ σ. καὶ ἐπί τινων λέξεων, τὸ ι ὑπεξαιρεῖσθαι. ἀντὶ μὲν οὖν τοῦ η τῷ α χρῶνται, ὅταν λέγωσι τὸ ἅλιον ἀντὶ τοῦ ἥλιον. καὶ ἁμέραν, ἀντὶ τοῦ ἡμέραν. καὶ ἁ κύπρις ἀντὶ τοῦ ἡ κύπρις. καὶ ἁδὺ ἀντὶ τοῦ ἡδύ. ἀντὶ δὲ τοῦ ω τῷ α χρῶνται, ὅταν λέγωσι μουσῶν μουσᾶν. θυρῶν θυρᾶν. ἀντὶ δὲ γενικῶν θηλυκῶν ὀνομάτων πληθυντικὰς πτώσεις, ὡς ὅταν λέγωσι καλὰς σοφάς. ἀντὶ δὲ τῆς ου διφθόγγου τῷ ω χρῶνται, ὅταν λέγωσι μούσας, μώσας. ἀντὶ δὲ τῆς ει διφθόγγου τῷ η, ὅταν λέγωσιν ἀντὶ τοῦ ἰδεῖν. δραμεῖν. λαβεῖν. ἰδῆν δραμῆν λαβῆν. ἀλλὰ καὶ λάβεν, ἀντὶ τοῦ λαβεῖν. καὶ δράμεν ἀντὶ τοῦ δραμεῖν. καὶ ἔλθεν, ἀντὶ τοῦ

ἐλθεῖν. δωρὶς δὲ ἐκλήθη, ἀπὸ δώρου τοῦ ἕλληνος παιδός.

## ΠΕΡΙ ΑΙΟΛΙΔΟΣ:~

Αἰολὶς δὲ λέγεται διάλεκτος, ᾗ κέχρηνται αἰολεῖς. ἴδιον δὲ αὐτῆς τὰς ὀξυτόνους λέξεις ἀναστρέφειν. καὶ τισὶν ὀνόμασι θηλυκοῖς αἰτιατικῆς πτώσεως, τὸ ι προστιθέναι. καὶ ποτὲ ἀντὶ τοῦ υ, τῷ ω χρῆσθαι. καὶ ἀντὶ τοῦ ο, τῷ ω. καὶ τὰ ἀρχόμενα ἀπὸ φωνήεντος, ψιλῶς ἐκφέρειν. ἔτι ἀντὶ τῆς ου διφθόγγου, τὸ η τάττειν. καὶ προστιθέναι ἐπὶ τῶν λέξεων τῷ ρ τὸ β. ἀντὶ δὲ τῶν δύο μμ, δύο ππ λαμβάνειν. Καὶ τὰς λέξεις μὲν ἀντιστρέφουσι τὰς ὀξυτόνους, τὸ ποταμὸς πόταμος λέγοντες. καὶ τὸ καλὸς κάλος. Τισὶ δὲ ὀνόμασι θηλυκοῖς αἰτιατικῆς πτώσεως τὸ ι προστιθέασιν, ὅταν λέγωσιν ἀντὶ τοῦ καλὰς καλαῖς. σοφὰς σοφαῖς. ἀντὶ δὲ τοῦ υ, τὸ ω. ὅταν λέγωσι λειπῶσαι ἀντὶ τοῦ λειπύσαι. καὶ ἰδῶσαι, ἀντὶ τοῦ ἰδοῦσαι. καὶ λαλῶσαι, ἀντὶ τοῦ λαλοῦσαι. ἀντὶ δὲ τοῦ ο τῷ ω χρῶνται. ὅταν λέγωσιν ὤμοιον, ἀντὶ τοῦ ὅμοιον. τὰ δὲ ἀρχόμενα ἀπὸ φωνηέντων ψιλῶς ἐκφέρουσιν, ὅταν τὸ ἡμέρα ψιλῶσι. καὶ τὸ ἄλλο καὶ ὑμεῖς. ἀντὶ δὲ τῆς ει διφθόγγου τῷ η χρῶνται. ἀντὶ τοῦ κυθέρειαν, κυθέρην λέγουσι. καὶ ἀντὶ τοῦ μαθεῖν καὶ ἐλθεῖν, μαθῆν ἔτι ἐλθῆν. προστιθέασι δὲ ἐπί τινων λέξεων τοῦ ρ τὸ β, τὰ ῥόδα γὰρ βρόδα λέγουσι. καὶ τὰ ῥάκη βράκη. ἀντὶ δὲ τῶν δύο μμ δύο ππ λαμβάνουσι, τὰ ὄμματα, ὄππατα λέγουσι. ἔστι δὲ τινὰ ἰδίως παρ' αὐτοῖς σχηματιζόμενα. ἀντὶ γὰρ τῆς μετὰ προθέσεως, τὴν κατὰ παραλαμβάνουσιν. ἔθος τε δὲ καὶ τὴν βουλὴν βωλὴν λέγουσι. ἔτι τὴν γῆν, γᾶν. καὶ τὸν ἀγῶνα, ἄγωνον. τὸν δὲ πρίαμον, πέρραμον. ἐκλήθη δὲ αἰολὶς, ἀπὸ αἰόλου τοῦ ἕλληνος παιδός.

## ΠΕΡΙ ΚΟΙΝΗΣ:~

Οἱ μὲν βουλόμενοι τὴν κοινὴν καταριθμεῖν διάλεκτον ταῖς προειρημέναις τέσσαρσιν, αἰτιῶνται τοῦτον τὸν τρόπον. οὐδὲ γάρ φησιν ἔχειν ἴδιον. ἀλλ' ὥσπερ τετραφαρμάκου δύναμις ἐκ τεσσάρων συνεστῶσα, τετραφάρμακον λέγεται, οὐδὲν ἴδιον ἔχουσα. οὕτω καὶ ἡ

κοινὴ διάλεκτος ἐκ τεσσάρων συναρμοσθεῖσα, οὐκ ὀφείλει συναριθμεῖσθαι ταύταις. τῶν δὲ τὴν κοινὴν διάλεκτον εἰσηγησαμένων, οἱ μὲν λέγουσιν, ὅτι πάσαις συμβέβληται ταῖς διαλέκτοις τῶν ὁμοφώνων οἷον φίλος νύξ καὶ τὰ τοιαῦτα. οἱ δὲ, ὅτι νῦν ἐστιν ἔχουσα τύπον. ἀλλ' ἐκ διαφόρων λέξεων συνηθροισμένη. μετὰ πτώσεις δὲ αὐτῆς, οὐ χρεία σκοπεῖν. ἰάδι ἔγραφεν Ὅμηρος. ἀτθίδι, Ἀριστοφάνης. δωρίδι, Θεόκριτος. αἰολίδι, ἀλκαῖος. κοινῇ, πίνδαρος.

## ἙΤΈΡΩΣ ΠΕΡῚ ΔΙΑΛΈΚΤΩΝ

Διάλεκτός ἐστι, λέξις ἴδιον χαρακτῆρα τύπου ἐπιφαίνουσα. ἢ λέξις, ἴδιον ἢ κοινὸν ἐπιφαίνουσα χαρακτῆρα. διάλεκτοι δὲ εἰσὶν, εἰ καὶ τὴν κοινήν τις καταριθμοίη, πέντε. ἰάς. ἀτθίς. δωρίς. αἰολίς. κοινή. ἡ γὰρ πέμπτη ἴδιον οὐκ ἔχουσα χαρακτῆρα, κοινὴ ὀνομάσθη. ἤτοι ὅτι τοῖς κοινοῖς τῶν πασῶν χαρακτῆρσι χρῆται καὶ ἐκ τῶν τεσσάρων καθέστηκεν, ἢ ὅτι κοινῶς αὐτῇ πάντες χρῶνται. ἢ διότι ἐκ ταύτης ἄρχονται, ὡς ταύτης οὔσης πασῶν. ἀναπεμπτέον δὲ ταύτην μὲν, ὡς πρὸς κανόνα. τὰς δὲ λοιπὰς, πρὸς ἰδιότητα. τὰς μὲν οὖν βαρβάρους ἐν πλήθει οὔσας καὶ ἀπεριλήπτους, οὐκ ἔστι ῥάδιον παραδοῦναι. Ἄλλως τε οὐδὲ λεκτέον αὐτὰς διαλέκτους, ἀλλὰ γλώσσας. τὰς δὲ ἑλληνικὰς συνέβη καλεῖσθαι. ὡς Ἕλληνος τοῦ Διὸς μὲν ἢ οὔ. κατὰ τὴν ἐπίκλησιν δὲ, Δευκαλίωνος τοῦ κατὰ τὴν Ἑλλάδα τόπους κατῳκηκότος. πάσας μὲν λέγεσθαι ἑλληνικὰς φωνάς. κατ' εἶδος δὲ τὰς προσωνυμίας, ἀπὸ τῶν ἐκείνου παίδων λαβόν. διασπαρέντων γὰρ τούτων, εἰς πλείονας τόπους, καὶ τὴν αὐτὴν φωνὴν, οὐκ ἔτι φυλαξάντων. ἀλλὰ τῇ τῶν τόπων μεταβολῇ ἅμα καὶ τὴν φωνὴν μεταβαλόντων, συνέβη διαλέκτους λέγεσθαι. ἀπὸ μὲν Δώρου τοῦ Δευκαλίωνος καὶ Πύῤῥας παιδὸς, μετοικήσαντες εἰς τοὺς περὶ τὸν Παρνασσὸν τόπους ἢ αἰσωτόν. Δωριεῖς ἀπ' αὐτοῦ προσαγορευθῆναι πάντας συνέβη. καὶ τὴν διάλεκτον δωρίδα. ᾗ πάνυ χρῶνται ῥόδιοί τε

εκῶοι καὶ πελοποννήσιοι καὶ κείσκοι καὶ σικελοί· καὶ λίβυες· καὶ οἱ τὴν ἤπειρον λεγομένην οἰκοῦντες. Ἀπὸ δὲ αἰόλου τοῦ ἕλληνος παιδὸς καὶ πύῤῥας αἰολὶς ἐκλήθη· οὗτος γὰρ δέκα πόλεις κτίσας· τήν τε χώραν αἰολίαν· καὶ τὴν διάλεκτον αἰολίδα προσηγόρευσεν. Ἡ δὲ ἰὰς, ἀπὸ ἴωνος τοῦ ξούθου τοῦ ἕλληνος καὶ κρεούσης τῆς ἐρεχθέως παιδός· οὗτος γὰρ δοκοῦσαν τῇ ἀτθίδι τὴν αὐτὴν εἶναι διάλεκτον, μεταναστὰς, καὶ κτίσας πόλεις ιγ· ἀφ᾽ ἑαυτοῦ ἰάδα προσηγόρευσεν· αἱ δὲ πόλεις, αὗται· κλαζομέναι· λέβεδος· φώκαια· πριήνη· μίλητος· μυοῦς· ἐρυθραί· τέως· σάμος· κολοφὼν· ἔφεσος· χίος· σμύρνα. Ἀτθὶς δὲ, ἤτοι ἀπὸ ἀτθίδος τῆς κραναοῦ θυγατρός· ἐγένετο γὰρ οὗτος, τῆς ἀττικῆς βασιλεύς· ἥτις ἐκλήθη οὕτως ἀπὸ τοῦ παρακτίου εἶναι ἀκτική τις οὖσα. νοεῖται δὲ ἡ διάλεκτος τριχῶς· κατὰ ὅλου ὀνόματος ἀλλαγὴν οὕτως· ὡς οἱ αἰολεῖς τὸ γυναικεῖον ἔνδυμα, καταγωγὴν καλοῦσιν· οἱ δὲ ἀττικοὶ τὴν ἐφ᾽ ἡμῶν τηλίαν, ἀλευρότησιν καλοῦσιν· καὶ τὰ ὅμοια. κατὰ δὲ μέρος τι· ἤτοι κατὰ πρόθεσιν ὡς οἱ αἰολεῖς τὰ ῥόδα βρόδα λέγουσι. κατὰ δὲ ἀφαίρεσιν· ὡς οἱ δωριεῖς τὸ φέρειν καὶ λέγειν, φέρεν καὶ λέγεν λέγουσι. κατὰ δὲ μετάθεσιν, ὡς δίφρον δρίφον λέγουσι κατὰ δὲ τὸ συμβεβηκός· ἤτοι κατὰ προσῳδίαν ἢ πνεῦμα λεγόμενον παρ᾽ ἡμῖν, ἀλλοιοῦσι· κατὰ μὲν προσῳδίαν θέλουσιν· ἀττικοὶ μὲν, ἱκάνω ἵκανον· ἐλαύνω ἔλαυνον· δωριεῖς δὲ τὸ πάντως, παντῶς λέγουσι· καὶ οὕτως οὑτῶς· καὶ τὰ ὅμοια διαιροῦμεν τοῖς ἰδιώμασι τῶν κατὰ μέρος διαλέκτων. κατὰ δὲ πνεῦμα, ὡς ἀττικοὶ τὸ παρ᾽ ἡμῖν ἥκιστα ψιλῶς ὂν, αὐτοὶ δασέως προφέρουσι.

## ΠΕΡῚ ΤΩ͂Ν ΚΑΤᾺ ΜΈΡΟΣ ἈΤΘΊΔΩΝ ΔΙΑΛΈΚΤΩΝ:~

Ἡ Ἀτθὶς τρέπει τὸ σ, ποτὲ μὲν εἰς τὸ τ· ποτὲ δὲ εἰς τὸ ξ· τὴν γὰρ θάλασσαν, θάλατταν λέγει· καὶ τὸ σεῦτλον τεῦτλον· καὶ τὴν συμφορὰν, ξυμφορὰν· καὶ τὸ σύμβολον, ξύμβολον· τρέπει

δὲ τὸ σ εἰς τὸ ξ, ἐπὶ τῆς συν προθέσεως καὶ μόνως. Αἰεὶ τὰς εἰς εις πληθυντικὰς εὐθείας ἀπὸ τῶν εἰς ευς ἀρσενικῶν γενομένας, διὰ τοῦ η προφέρεται· οἷον γονεῖς γονῆς, βασιλῆς, οἱ βασιλεῖς. Τὰ εἰς ας λήγοντα ἀρσενικὰ προπαροξύτονα ἢ ὀξύτονα, διὰ τοῦ εως προφέρεται· οἷον μενέλαος, μενέλεως· λαὸς, λεώς· ναὸς, νεώς. Τὸ ι ἐν ταῖς λέξεσι προστίθησιν· οἷον, νυνί· τουτονί· οὑτοσί· πρινί· ἡμεῖς δὲ νῦν οὗτος τοῦτον πρίν.
Τὰ εἰς ευς ὀνόματα, διὰ τοῦ ω ἐπὶ γενικῆς ἐκφέρει· ἀριστεύς, ἀριστέως· ὁμοίως πηλεὺς, πηλέως. Αἱ συναλοιφαὶ, ἀττικῶν εἰσιν ἴδιαι. τὠμῷ ἀντὶ τοῦ τῷ ἐμῷ· ἔρχομεν χὤν, ἀντὶ τοῦ ἔρχομαι ἔχων. Αἱ ἐξαιρέσεις τοῦ ι, ἀττικῶν εἰσιν ἴδιαι· καὶ δωριέων καὶ αἰολέων· ἑταροῦ, ἀντὶ τοῦ ἑταῖρον· ἐς χρύσαν, ἀντὶ τοῦ εἰς χρύσαν. Αἱ παραλήψεις τῶν κλητικῶν ἀντὶ τῶν ὀνομαστικῶν, ἀττικῶν εἰσιν ἴδιαι· νεφεληγερέτα ζεύς· ἀντὶ τοῦ νεφεληγερέτης· ἱππότα νέστωρ, ἀντὶ τοῦ ἱππότης· καὶ εὐρυόπα ζεὺς, ἀντὶ τοῦ εὐρυόπης· σημειωτέον· αἱ εὐθεῖαι γὰρ ἀντὶ κλητικῶν, καὶ αἱ κλητικαὶ, ἀντὶ εὐθειῶν· τοῦτο δὲ μόνον, ἀθηναῖον τὸ σχῆμα. Αἱ ἐλλείψεις τῶν μερῶν τοῦ λόγου· ἀττικῶν εἰσι καὶ δωριέων καὶ ἰώνων· οἷον κόπτων ἀμφοτέρῃσι, ἐλλείπει τὸ χερσίν. Αἱ παραλήψεις τῶν αἰτιατικῶν πτώσεων ἀντὶ γενικῶν, ἀττικῶν εἰσιν· οἷον μήτε σὺ τόνδ᾽ ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην· ἀντὶ τοῦ τούτου. Ἀεὶ παθητικοῖς ῥήμασιν ἀντὶ ἐνεργητικῶν χρῆται· οἷον γράφομαι, ἀντὶ τοῦ γράφω· καὶ ποιοῦμαι ἀντὶ τοῦ ποιῶ· ποιείσθων καὶ νοείσθων λέγειν, ἀντὶ τοῦ ποιείτωσαν καὶ νοείτωσαν. Τὰ εἰς ως ἐπιρρήματα τῆς μεσότητος, εἰς ον περατοῖ· ὀνόμασι γὰρ, ἀντὶ ἐπιρρημάτων χρῆται· οἷον δέον πρέπον· ἀντὶ τοῦ δεόντως καὶ πρεπόντως. Τὰς εἰς ες ληγούσας εὐθείας τῶν συγκριτικῶν ὀνομάτων, εἰς ους περατοῖ· οἷον μείζους χείρους· καλλίους ἀντὶ τοῦ μείζονες χείρονες· καλλίονες. Ταῖς συναλοιφαῖς.

ἀεὶ κατακόρως χρῆται· τὸ γὰρ ἱμάτιον, θοἰμάτιον λέγει· καὶ τὸ ἔλαιον, τοὔλαιον. Τὸ σ̄ ἀντὶ τοῦ ρ̄ χρῆται· τὸ γὰρ θάῤῥος θάρσος λέγει· καὶ τὸ θαῤῥαλέον θαρσαλέον· καὶ τὸ ἄῤῥεν ἄρσεν. Τὸ ου ἀντὶ τοῦ εο χρῆται· ὡς ὅταν λέγῃ τοὔνδυμα· τοὔγκλημα· τοὖπος· ἀντὶ τοῦ τὸ ἔνδυμα· τὸ ἔγκλημα· τὸ ἔπος. Εὐθείαις, ἀντὶ κλητικῶν χρῆται· ὦ φίλος, ἀντὶ τοῦ ὦ φίλε. Ὑπερθετικοῖς, ἀντὶ συγκριτικοῖς πολλάκις χρῆται· ἀντὶ τοῦ εἰπεῖν θηριωδέστερος πάντων, θηριωδέστατος λέγει. Τὸ η̄ ἀντὶ τοῦ ε̄ κέχρηται· τρέπει γὰρ τὸ ε̄ εἰς η̄, ὡς ὅταν λέγῃ ἠδυνάμην ἠβουλόμην.

Ἡ ἀτθὶς διάλεκτος μεταβολὰς εἰληφυῖα κατὰ καιρούς, ὁμοίως τὸν ἀρχαῖον τύπον ὑπογράφει· τοῖς γὰρ δυϊκοῖς ὁρῶμεν χρωμένους, τούς τε κωμικοὺς ποιητάς, καὶ ἀττικοὺς συγγραφεῖς, λέγοντας τὼ πόδε, καὶ τὼ χεῖρε· καὶ νὴ τὼ θεώ, καὶ διὸς κούρω· λέγει δὲ καὶ πλάτων ὁ φιλόσοφος ἐν τῷ γοργίᾳ· τὼ γὰρ ξένω τώδε γοργίας τε καὶ πῶλος, σοφὼ μὲν ἀμφοτέρω ἐστὸν καὶ φίλω ἐμώ· καὶ δυοῖν ὀβολοῖν· καὶ δυοῖν χαλκοῖν· καὶ ταῖν θεαῖν.

Ὅσα τῶν εἰς ο̄ς ληγόντων ἔχει τὸ α̅ παραλῆγον, ταῦτα διὰ τοῦ ω̄ μεγάλου καὶ τοῦ ε̄· ἵλαος ἵλεως καὶ κατὰ τὰς πλαγίους, οὕτως· τῇ ὀρθῇ ἀκολούθως· Μενέλεω, ἀντὶ τοῦ Μενελάου· καὶ τὴν δοτικὴν ὁμοίως σὺν τῷ ῑ· τὴν δὲ αἰτιατικὴν Μενέλεων· τὴν δὲ πληθυντικὴν ὀρθὴν ὁμοίως τῇ ἑνικῇ δοτικῇ, Μενέλεῳ· τὴν δὲ γενικὴν, τῶν Μενέλεων. Ἔτι φασὶν ἀττικοί· ἀντὶ τοῦ εὐφυῆ, ὑγιῆ· εὐφυᾶ λέγουσι καὶ ὑγιᾶ· καὶ ἀντὶ τοῦ εὐβοέα καὶ πειραιέα, εὐβοιᾶ καὶ πειραιᾶ· τοῦτο δὲ εἰώθασι ποιεῖν· ἐὰν φωνῆεν ἡ τελευταία συλλαβὴ διὰ μόνου τοῦ η̄ λέγεται· ἢ διὰ τοῦ ε̄ ἢ τοῦ α̅ παραλήγει· ὡς ἐπὶ τῶν προκειμένων. οὐ μὴν εἰ φωνῆεν γε μετὰ συμφώνου λήγουσι· εὐμενῆ· εὐτυχῆ· οὐ γὰρ ἐροῦσιν εὐμενᾶ καὶ εὐτυχᾶ· οὐδὲ πάλιν ἐὰν φωνῆεν σύμφωνον ἄρχει τοῦ ε̄ παρα-

λήγοντος βασιλέα· δρομέα. ἐπὶ τῶν τοιούτων ῥημάτων ἐδυ-
νάμην ἐβουλόμην ἔμελλον. τὸ ε εἰς η ἀλλάττουσι λέγοντες
ἠδυνάμην ἠβουλόμην ἤμελλον. Καὶ τὸ α τῆς ἀνὰ προ-
θέσεως, ἀλλάττουσι τὸ α εἰς η. ἠνεσχόμην λέγοντες, ἀντὶ
τοῦ ἀνεσχόμην. Ἔτι γε μὴν τῶν εἰς η λεγόντων ῥη-
μάτων τοῦ δευτέρου προσώπου παθητικοῦ, διὰ τῆς ει δι-
φθόγγου· βούλει γάρ, ἀντὶ τοῦ βούλη. ὅταν δὲ ἐστὶν ὑποτα-
κτικόν, ὁμοίως ἡμῖν λέγουσι ἐὰν βάλῃ. Τὰ δὲ εὐ-
κτικά, λαμβάνουσιν ἀντὶ ὑποτακτικῶν· ἐὰν ἔλθοις, ἀντὶ
τοῦ ἐὰν ἔλθῃς, καὶ ἐὰν ἔλθοι, ἀντὶ τοῦ ἐὰν ἔλθῃ.
Περιαιροῦσι δὲ πολλάκις καὶ τὸ ι. τὸ γὰρ κλαίειν λέγοντες
κλάειν. καὶ τὸ μῆαν, μίαν. καὶ μητρυιάν, μητρυάν. καὶ ποι-
εῖν, ποεῖν. καὶ ποίημα, πόημα. Καὶ ἀντὶ τῆς πρὸς προ-
θέσεως, τῇ ὡς χρῶνται· ἀντὶ τοῦ, πρὸς τὸν βασιλέα καὶ πρὸς
τὸν φίλον, ὡς τὸν βασιλέα· ὡς τὸν φίλον. Ἴδι-
ον δὲ αὐτῶν ἐστι καὶ τὰς εἰς α λεγούσας ἑνικὰς αἰτιατικὰς
ἀρσενικάς, διὰ τοῦ η προφέρεσθαι· εὐρυσθέα, εὐρυσθῆ. πη-
λέα πηλῆ. τυδέα τυδῆ. δύφαν δύφη. Χρῶνται δὲ
καὶ τοῖς παθητικοῖς, ἀντὶ ἐνεργητικῶν· λοιδορούμενος, ἀντὶ τοῦ
λοιδορῶν. φαινόμενος ἀντὶ τοῦ φαίνων. φαινακιζόμενος, ἀν-
τὶ τοῦ φαινακίζων. διακονούμενος, ἀντὶ τοῦ διακονῶν. δια-
βαλλόμενος, ἀντὶ τοῦ διαβάλλων. μισούμενος ἀντὶ τοῦ μισῶν.
Ἔσθ᾽ ὅτε δὲ καὶ τὰ ἐνεργητικά, τιθέασιν ἀντὶ παθητικῶν·
τὸ πολιτεύειν ἀντὶ τοῦ πολιτεύεσθαι. καὶ γράφειν ἀντὶ τοῦ γράφε-
σθαι. καὶ τὰ ὅμοια. Τοὺς δὲ ἀορίστους καὶ μέλλοντας ὁλοκλήρους
παθητικούς, αὐτοὶ μέσους πολλάκις ἐναλλάσσοντες. τὸ γὰρ μι-
σηθήσεσθαι, μισήσεσθαι λέγουσι. καὶ τὸ ζητηθήσεσθαι, ζητήσεσθαι. καὶ τιμηθή-
σεσθαι, τιμήσεσθαι καὶ τὰ ὅμοια. Τοὺς δὲ παρὰ τὸ ίζω μέλλοντας, ἀ-
ποβάλλουσι τὸ σ καὶ περισπῶσιν. ὀνειδιῶ λέγουσιν ἀντὶ τοῦ ὀνειδί-
σω. καὶ ῥαντιῶ, ἀντὶ τοῦ ῥαντίσω. καὶ μυκτηριῶ, ἀντὶ τοῦ

μυκτηρίσω. Φιλοῦσι δὲ, καὶ τὰ πολλὰ, συγκόπτειν. τὰς μὲν νηρεΐδας, νηρῇδας φασίν. καὶ τὸν ἀπόλλωνα ἀπόλλω, καὶ ἀμείμονα, ἀμείμω. καὶ κρείττονα κρείττω. Ἀματτοῦσι δὲ καὶ τοὺς τόνους καὶ τοὺς ἤχους καὶ τοὺς χρόνους. τόνους μὲν ἀντὶ τοῦ πολέων ταξέων. τὸ λῆ λέγουσι καὶ τάξεων. ἤχους δὲ, τὸ σταφίδα καὶ στάχυς ἀσταφίδα λέγουσι καὶ ἄσταχυς. χρόνους δὲ, τῆς βασιλείας τὸ ᾱ ἐκτείνουσι καὶ ἀξίας. καὶ ἱμάντα καὶ ἀνδριάντα. Λέγουσι δὲ καὶ ἀντὶ τοῦ εἰς ἀθήνας ἀθήναζε πορεύομαι. καὶ τὸ ἐν ἀθήναις, ἀθήνησι σοφιστεύω, καὶ τὸ ἐξ ἀθηνῶν ἐξ ἀγροῦ, ἀθήνηθεν. ἀγρόθεν ἔρχομαι. καὶ τὸ εἰς οἶκον, οἴκαδε. ἐξ οἴκου, οἴκοθεν. ἐν οἴκῳ, οἴκοι. καὶ τὸ ἐξ οὗ χρόνου. ἐξ ὅσου χρόνου. Καὶ τὸ ρ̄ ἀντὶ τοῦ λ̄ χρῶνται. τὸ γὰρ κλίβανον. κρίβανον λέγουσιν.

Τὰ δὲ γινόμενα κατὰ ἐναλλαγὴν ὀνόματα, εἰσὶ ταῦτα, τῆς σταφυλῆς τὰ στέμφεα, κεύα. τὰ δὲ τῆς ἐλαίας πιέσματα, στέμφυλα. τὸ πορευτέον. βαδιστέον. τὸν ἀβρυνόμενον παῖδα. βούπαιδα. τὴν χλαῖναν. βατραχίδα. τὸν καλέα προχύτην. τὸν ὄλυνθον, κήρακας. τὸν ἐκλυτίαν καὶ φεύγοντα, ὀνοσλύξιν. τὸ ὑπερῷον, δωμάτιον. τὸ δάνειον, δάνεισμα. δεδοικώς. δεδιώς. εἰσιέναι. εἰσφέρειν. ἀναπειρεῖν. ἐξ ὅτου. ἐκ τίνος. εὐθύ. ὀρθόν. καὶ τὸ εὐθὺς ὅπερ ἐστὶ παραχρῆμα ἰθύς. ἐκκορῆσαι. ἐκκαλύναι εἰλυχέναι κληρῶσαι. τοὺς ἅλας. ἡδυντῆρας. ἡ ὀρφανὴ, πενιχρά. ἡ γὰρ ἀνδρὸς σινομένη, θῆσσα. τὰς ἐκθαλάμου λυχνίδας, θρυαλλίδας. συνειδήσεως συνιστορήσεως. τὸ τοῦ ἱεροθύτου προβάτου νάκος, κώδιον. τὰς πεφρυγμένας κριθὰς, κάγχρυς. τρίμακον, ἱμάτιον. ἀτιμώρητον. νήποινον. τοὺς μέν τι δεδευμένους πυροὺς, ὄμπας. μετεώροις γόνασι καθίσαι, ὀκλάσαι. κοιτῶνα, οἴκημα. τὸν ταλαίπωρον, ὀϊζυρόν. περιελλεῖν, περιτυλίττειν. τὴν βοτάνην πόαν. τὰς πρεσβυτέρας γυναῖκας, τήθας καὶ μάμμας. χρήστην, τὸν ὀφειλέτην. τὰς ὀρχουμένας κόρας, χρυσαλλίδας. ξύστραν, τὴν στλεγγίδα. ὑπὸ σιτίων ὑποσείων, καὶ τὰς ὑφὴν

καλουμένας προσηγορίας πληθυντικὰς διὰ τοῦ ε̄ καὶ ᾱ βασιλέας, αὐτοὶ διὰ τῆς ει διφθόγγου προφέρονται, βασιλεῖς· ἱππέας ἱππεῖς· καὶ τὸ ποταμὸς ποδαπός· καὶ ῥώξ, ῥάξ· σαλπιστὴς σαλπικτής· Φερσεφόνη, Φερσέφασσα· φεύξεται, φευξεῖται· κλεῖδα, κλεῖν· αὔξων, αὐξάνων· ἀκρόαμα, ἄκουσμα· κιωσόμενον, κιῶντα· κέχρηται δὲ τῇ ἀτθίδι διαλέκτῳ, θουκυδίδης· μένανδρος· πλάτων· καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

## ΠΕΡῚ ἸΆΔΟΣ.

Ἡ ἰὰς τὰ εἰς ας λήγοντα ὀνόματα, εἰς η̄ ξένα ποιεῖ· ἐὰν μὴ ὦσι δωρικά· ἑρμίας, ἑρμίης· σωσίας, σωσίης· τότε γὰρ ἴωνες τρέπουσιν, ὅταν μὴ ᾖ τετραμμένα ἐκ δωριέων ὡς εἴρηται, ἑρμίας· ἑρμίης· οἱ γὰρ δωριεῖς οὐ τρέπουσιν αὐτά. Πᾶν εἰς της λῆγον, ὅτε ἡ γενικὴ εἰς ου περατοῦται, παρ' αὐτοῖς εἰς εω λήγει· πέρσης πέρσεω· ξέρξης ξέρξεω, πηληϊάδης πηληϊάδεω.

Τὰ εἰς ης ἀρσενικὰ ὧν ἡ γενικὴ εἰς ους, διὰ τοῦ εος προφέρεται· οἷον δημοσθένης, δημοσθένεος· ἀμαθὴς, ἀμαθέος· τὴν αἰτιατικὴν, εἰς εα ποιεῖται· δημοσθένεα· ἀμαθέα. Τὰς εἰς ους λήγοντας γενικὰς τὰς ἀπὸ τῶν εἰς ες οὐδετέρων εὐθειῶν γινομένας, διαιρεῖ· εὐσεβοῦς· εὐσεβέος· δυσγενοῦς· δυσγενέος.

Πᾶσα εὐθεῖα εἰς εὺς, διὰ τοῦ ηος ἐκφέρεται ἐπὶ γενικῆς παρὰ ἴωσιν· οἷον βασιλεύς, βασιλῆος. Τὰ εἰς ος οὐδέτερα, κατὰ τὴν γενικὴν εἰς εος ποιοῦσιν ἴωνες· πλῆθος πλήθεος. Τὰς εἰς εῖς εὐθείας πληθυντικὰς ἀπὸ τῶν εἰς εὺς ἑνικῶν γινομένας, εἰς ῆες διαιροῦσιν ἴωνες· οἷον βασιλῆες, ἀντὶ τοῦ βασιλεῖς.

Τὰ εἰς αι πληθυντικά, διαιρεῖ ἐπὶ γενικῆς διὰ τοῦ ε̄· οἷον πέρσαι περσέων· νύμφαι, νυμφέων· τὸ δὲ νυμφάων, αἰολικόν. Πᾶσα δοτικὴ πληθυντικὴ εἰς οις λήγουσα, προσλαμβάνει τὸ ῑ παρ' αὐτῇ· οἷον· καλοῖς καλοῖσι· σοφοῖς σοφοῖσι, καὶ τὰ ὅμοια. Πᾶσα δοτικὴ πληθυντικὴ εἰς αις λήγουσα μεταβάλλει τὸ α εἰς η̄ ἐπὶ τῶν

ἰάδος προσγραφομένου μὲν τοῦ ι, μὴ συνεκφωνουμένου δέ· οἷον καλαῖς, καλῇσι, νύμφαις νύμφῃσι. Τὰς εἰς α εὐθείας, εἰς η τρέπουσιν ἴωνες· οἷον ἥρα, ἥρη· χώρα, χώρη. Τὸν οὖν σύνδεσμον, ὦν λέγουσιν ἴωνες. Τῶν ῥημάτων τὰς συνθέσεις διὰ ψιλῶν συμφώνων ποιοῦσιν ἴωνες· κατορῶ κατορᾷς κατορᾷ. Τοῖς προτακτικοῖς ἄρθροις, ἴωνες ἀντὶ τῶν ὑποτακτικῶν χρῶνται· τὸν θέλω, ὃν θέλω· τὴν θέλω, ἣν θέλω. Τὸ κ ἀντὶ τοῦ π ἐν τοῖς ἐρωτηματικοῖς καὶ ἀναφορικοῖς οἷον πόσα, κόσα· ὁπόσα· ὁκόσα· ὅπως, ὅκως. Τῷ ω ἀντὶ τοῦ α ἔσθ' ὅτε χρῶνται ἴωνες· ὤνθρωπος λέγοντες· ὤριστον. Τῷ ω ἀντὶ τοῦ αυ διφθόγγου χρῶνται, θῶμα τὸ θαῦμα λέγοντες. Αἱ τμήσεις, ἰώνων ἴδιαι· Πέλοπος νῆσος, ἡ Πελοπόννησος· ἄγριον ἔλαιον· ἀντὶ τοῦ ἀγριέλαιον· καὶ ἄγριον αἶγα, ἀντὶ τοῦ αἴγαγρον, καὶ συὸς ἀγρίου, ἀντὶ τοῦ συάγρου. Αἱ παραλήψεις ἀπαρεμφάτων ἀντὶ προστακτικῶν· ἰώνων εἰσί, πάντα μάλα ἀτρεκέως ἀγορευέμεν· ἀντὶ τοῦ ἀγόρευε· πειρᾶν δ' ὥς κεν πρῶτος, ἀντὶ τοῦ πειρῶ· καὶ μυρία τοιαῦτα.

Αἱ παραλήψεις τῶν ἀρσενικῶν ἀντὶ θηλυκῶν, ἰώνων εἰσί· τοῖσι δὲ τρωπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν· ἀντὶ τοῦ ἑσπέρα.

Αἱ παραλήψεις τῶν ὀνομαστικῶν πτώσεων ἀντὶ τῶν γενικῶν ἰώνων εἰσίν· οἱ δὲ δύο σκόπελοι· ὁ μὲν οὐρανόν· ἀντὶ τοῦ τούτων δὲ δύο σκοπέλων· ὁ μὲν, τόδε· ὁ δὲ, τόδε. Τὰ εἰς ω λήγοντα θηλυκὰ ἐπὶ τῆς αἰτιατικῆς εἰς ουν περατοῖ· οἷον ἰὼ ἰοῦν· λητὼ λητοῦν· σαπφὼ σαπφοῦν. Τὸ ι ἐνίων λέξεων ἐξαιρεῖται ἡ ἰάς· τὸ γὰρ πνεῖσθαι πνέεσθαι λέγει, ὅθεν πνέοντο. Τὰ εἰς ις λήγοντα θηλυκὰ οὐδέποτε διὰ τοῦ ω κλίνουσιν ἴωνες· ἀλλὰ διὰ τοῦ ο· πόλις πόλιος· καὶ ὄφιος. Αἱ διαιρέσεις τῶν εἰς ει ληγόντων ἑνικῶν δοτικῶν, ἰώνων εἰσὶν ἴδιαι· βέλεϊ, ἀντὶ τοῦ βέλει· ἔγχεϊ ἀντὶ τοῦ ἔγχει. Αἱ ἐπαναδιπλώσεις, ἴδιαι εἰσὶν ἰώνων· λελάχωσιν ἀντὶ τοῦ λάχωσι· κέκλυθι, ἀντὶ τοῦ κλῦθι.

Μεταθέσει στοιχείων ἰὰς χρῆται· οἷον κραδίη, ἀντὶ τοῦ καρδία.

ἀπὸ τῆς ει διφθόγγου ἴωνες ἐξαιροῦσι τὸ ι. ἑκτόρεος. χρύσεος. ἀντὶ τοῦ ἑκτόρειος. χρύσειος. Αἱ ἀπὸ τῶν αὐτῶν στοιχείων ἐπὶ τὸ αὐτὸ συνεστῶσαι παρεληλυθότος προφοραὶ, ἰώνων εἰσίν. ἔχω ἔχον.

Τὰς εἰς σι ληγούσας πληθυντικὰς, ἴωνες πάντοτε διαιροῦσιν. ἀπὸ μὲν τῶν εἰς ευς οὔσας διὰ τοῦ η προφέρονται. βασιλεῦς βασιλεῖς βασιλῆες. ἀπὸ δὲ τῶν εἰς ης ἢ εἰς υς. διὰ τοῦ ε. οἷον, ἀληθὴς ἀληθεῖς, ἀληθέες. ὀξὺς ὀξεῖς, ὀξέες. Αἱ προθέσεις χωρὶς τοῦ ι τῶν ἐπιφερομένων φωνήεντος, ἢ ἑνὸς τῶν ἀμεταβόλων, ἰώνων εἰσίν. οἷον περέως. κέρνη. ἀντὶ τοῦ κένη περιέως. Ἡ συναλοιφὴ τῆς οι διφθόγγου εἰς τὴν ἑξῆς συλλαβὴν ἰώνων ἐστίν. ἐρίηρες. ἀντὶ τοῦ ἐρίηροι. ἠΐεες, ἀντὶ τοῦ ἠιοί. φυσάρματες, ἀντὶ τοῦ φυσάρματοι. Τὰ εἰς ος πληθυντικὰ οὐδέτερα, εἰς εα διαιροῦσιν ἴωνες. οἷον τείχη, τείχεα. ὄρη. ὄρεα. ὁμοίως καὶ τὰς γενικὰς, διὰ τοῦ εων. Ἀεὶ τὸ ου προστιθέασι ταῖς λέξεσιν ἴωνες. οἷον ὄρος οὖρος, νόσος νοῦσος. ὄνομα, οὔνομα. Τὸ διπλοῦν σσ, εἰς ξ τρέπουσιν ἴωνες. τὰ γὰρ δισσὰ, διξὰ λέγουσι. Τὸ ι τῶν λέξεων, ἴωνες ἐξαιροῦνται πολλάκις. τὸ γὰρ δείξω, δέξω λέγουσι, καὶ τὴν ἀπόδειξιν, ἀπόδεξιν. Τῶν μετοχῶν τὰς παθητικὰς εἰς ου προπαραληγούσας, ἴωνες διαιροῦσιν. οἷον λυπούμενος λυπεόμενος. Τὰς εἰς ων ληγούσας μετοχὰς ἀπὸ τῆς α. συζυγίας τῶν περισπωμένων γινομένας. ὧν τὸ προστακτικὸν ἐπὶ β΄ καὶ γ΄ προσώπου εἰς ει δίφθογγον λήγει, διαιροῦσιν ἴωνες. οἷον φρονῶν φρονέων. ἔστι γὰρ φρόνει τὸ προστακτικόν. νοῶν νοέων, νόει γάρ. καὶ τὰ ἀπ᾽ αὐτῶν ῥήματα διαιρεῖ. βοῶν δὲ, οὐθέλει διαιρεῖσθαι, τὰ γὰρ τῆς δευτέρας φυλάσσουσι τὴν διαίρεσιν, πλὴν ὅμως καὶ διαιρεῖ σπάνια ἐστὶ γάρ.

Αἱ συναλοιφαὶ τοῦ η εἰς α βραχὺ ἰώνων εἰσί. μεμακυῖα ἀντὶ τοῦ μεμηκυῖα. καὶ λελασμένος. ἀντὶ τοῦ λελησμένος. καὶ ἄλαστος ἀντὶ τοῦ ἄληστος. Αἱ συναλοιφαὶ τοῦ α μακροῦ εἰς η ἰώνων εἰσίν. ἥρα. ἥρη. στεῖρα στείρη. Αἱ συναλοιφαὶ τοῦ α βραχέος εἰς η, τῶν μεταγενεστέρων εἰσί. τὰ δὲ δὴ ἐστὶν ἀ-

ληθείης. Αἱ ἀφαιρέσεις τῶν κατ' ἀρχὴν συμφώνων, ἰώνων εἰσίν· εἴβειν, ἀντὶ τοῦ λείβειν· καὶ αἰνὸς ἀντὶ τοῦ δεινός. Αἱ εἰς τὴν ὧν συλλαβὴν περιωπὴν τιθέασι μεταξὺ τῶν προθέσεων· ἐξωνεῖλον· καὶ ἀπωνέδυντο· ἀντὶ τοῦ ἐξεῖλον καὶ ἀπέδυντο. Τὰ πρῶτα στοιχεῖα τῶν λέξεων, ἴωνες ἀφαιροῦνται· ἐκεῖνος· κεῖνος· ἑορτὴ, ὀρτὴ· ὁμοίως καὶ τὸ ε τῶν παρεληλυθότων· ἐνόει, νόει· ἔτευχε τεῦχε· ἔτικτε τίκτε. Τῷ ω ἀντὶ τοῦ ου χρῶνται· ἀφικόμενος, ἀπικόμενος λέγουσι. Τὰ συνήθεια ῥήματα διαλύουσι τὰ μεταξὺ τιθέασιν· οἷον λέων κατὰ ταύρου ἐδηδὼς ἀντὶ τοῦ κατεδηδώς· κατὰ δὲ κτάνεν ἠετίωνα, ἀντὶ τοῦ κατέκτανεν. Αἱ ἀναστροφαὶ καὶ τὰ ὑπερβατὰ, ἰώνων εἰσίν· οἷον δῶρ' ἀπὸ αἱρεῖσθαι· ἀντὶ τοῦ ἀφαιρεῖσθαι. ὑπερβατὰ δέ εἰσι τοιαῦτα· νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο. Καὶ ἤσθιον· ἀντὶ τοῦ κατήσθιον. Αἱ διαιρέσεις τῶν εἰς ως ληγόντων ἐπιρρημάτων· τῶν ἀπὸ τῶν εἰς ης ληγόντων ἀρσενικῶν· καὶ τῶν εἰς ες οὐδετέρων, ἰώνων εἰσίν· ἀεικέως ἀντὶ τοῦ ἀεικῶς. Ἡ ἔξαρσις τοῦ ι τῆς ει διφθόγγου ἰώνων ἐστίν· ἑκτόρεος χρύσεος· ἀντὶ τοῦ ἑκτόρειος χρύσειος.

Ἡ ἰὰς διάλεκτος, ἔστι τῇ παλαιᾷ ἀτθίδι· ταύτῃ δὲ ὡς ἐπὶ πολὺ ὅμηρός τε καὶ ἡσίοδος· τε ἀρχίλοχος κέχρηνται· καὶ ἀνακρέων καὶ ἡρόδοτος. ἔστι δὲ αὐτῆς ἰδιώματα, τὸ α εἰς η τιθέναι· θύραν θύρην· ἥραν, ἥρην, ἑστίαν· ἑστίην· ἀντὶ δὲ τοῦ καλαῖς, καλῇσι· σοφαῖς, σοφῇσι· πύλαις, πύλῃσι· τὸ ι ἐῶσι κατὰ χώραν μένειν· οὕτως τὸ η ὡς εἴρηται ἀντὶ τοῦ α τιθέντες οἱ ἴωνες. Χρῶνται δὲ καὶ συστελλομένῳ τῷ α ἀντὶ τοῦ η ἴωνες· δωριεῖς δὲ, ἐκτεινομένῳ.

Γίνεται δὲ ἐν τῇ ἰάδι διαλέκτῳ, πρόσθεσις· ἀφαίρεσις· συγκοπὴ· παρένθεσις· πλεονασμός· διαίρεσις.

Πρόσθεσις μὲν οὖν γίνεται παρ' αὐτοῖς, ὅταν ἐν ἀρχῇ τοῦ λόγου ἕτερον παραληφθῇ στοιχεῖον· οἷον εἵνεκα ῥιγεδανῆς· ἀντὶ τοῦ ἕνεκα· ἴλιον ἔσω, ἀντὶ τοῦ ἔσω, καὶ μὲν ἰών, ἀντὶ

τοῦ μόνου· καὶ ξεῖνος ὁ δ' οὐκ ἐθέλει, ἀντὶ τοῦ ξένος· καὶ ἄρτον οὖλον ἑλών· ἀντὶ τοῦ ὅλον, καὶ ἀλλαμυεία. Ἀφαίρεσις δὲ τοὐναντίον πάσχει τῇ προσθέσει· ἡ μὲν γὰρ πρόσθεσις, ἐν ἀρχῇ λαμβάνει ἔξωθεν ἕτερον στοιχεῖον· ἡ δ' ἀφαίρεσις καὶ τὸ κείμενον ἀποβάλλει· ὅταν ἴωνες τὴν μὲν ἑορτὴν ὀρτὴν λέγωσι· καὶ τὸ ἱερὸν ἱρόν. Συγκοπὴ δὲ, ὅταν μέσα στοιχεῖα ὀνόμασιν ἐγκοπῇ· οἷον μώνυχας ἵππους, ἀντὶ τοῦ μονόνυχας· καὶ κάππεσον, ἀντὶ τοῦ κατέπεσον· καὶ φέρτε, ἀντὶ τοῦ φέρετε· καὶ κακκείοντες· ἀντὶ τοῦ κατακοιμηθησόμενοι. Παρένθεσις δέ ἐστι τοὐναντίον πεπονθυῖα τῇ συγκοπῇ· ἐκείνη μὲν γὰρ ἀπολύει· αὕτη δὲ προσλαμβάνει στοιχεῖον ἔξωθεν· οἷον ἐρίγδουπος· ἀντὶ τοῦ ἐρίδουπος· περισσὸν ἄρα τὸ γ. καὶ ὑμέων, ὑμείων· σοφέων, σοφείων. Ἐναλλαγὴ δὲ γίνεται, ὅταν ἕτερον στοιχεῖον παραληφθῇ, ἀντὶ κυρίου· ποτί, ἀντὶ τοῦ πρός· καὶ ξερόν, ἀντὶ τοῦ ξηρόν· καὶ ἠ δύρωμεν ἕπονται, ἀντὶ τοῦ δύρο· καὶ τιθήμενον ἐν τετακαλα, ἀντὶ τοῦ τιθέμενον· καὶ τὸ κ, ἀντὶ τοῦ π· οἱ νεώτεροι χρῶνται· ὅκως ἀντὶ τοῦ ὅπως.

Μετάθεσις δὲ γίνεται, ὅταν τὰ ὄντα μετατεθῇ ἐν τῷ αὐτῷ ὀνόματι· καὶ ἡ πρότερον στοιχεῖον ἀπὸ ἰδίας γενικῆς συλλαβῆς μὴ ὀφειλόμενον, ἢ καὶ δεύτερον· κραδίην, ἀντὶ τοῦ καρδίαν· καὶ τέταρτον ἦμαρ, ἀντὶ τοῦ τέταρτον· καὶ κρατερὸς διομήδης· ἀντὶ τοῦ καρτερός· καὶ τὰ ὅμοια. Πλεονασμὸς δέ ἐστιν, ὅταν ἐπὶ ταῖς πληθυντικαῖς δοτικαῖς ἀρσενικαῖς πτώσεσιν, εἰς οις ληγούσαις· ἢ θηλυκαῖς εἰς ης, προσλαμβάνουσι τὸ ι ποταμοῖς, ποταμοῖσι, καλοῖς καλοῖσι· σοφῆς σοφῆσι.

Διαίρεσις δὲ γίνεται, οὐ μόνον παρ' αὐτοῖς ἐπὶ τῶν δισυλλάβων ὀνομάτων, ἀλλ' ἤδη καὶ ἐπὶ τῶν μονοσυλλάβων καὶ προσηγορικῶν· ῥοῦς ῥόος· χοῦς χοόος. Ἐπὶ δὲ τῶν ὑπὲρ μίαν συλλαβὴν ληγομένων ὀνομάτων καὶ προσηγορικῶν ἀρσενικῶν ἐνικῶν εἰς ης ληγόντων· ὧν ἡ γενικὴ εἰς ου λήγει, αὐτοὶ τὴν προφορὰν διὰ τοῦ εω διαιροῦνται· τοξότου, τοξότεω λέγομ

τει· καὶ ἀτρείδου, ἀτρείδεω· λαέρτου λαέρτεω· καὶ κατὰ παράθεσιν· πηληιάδεω· λαερτιάδεω, καὶ τὰ ὅμοια. Τὰς δὲ εἰς ους λήγουσας γενικὰς εἰς τὸ ε ἐκ τοῦ ο διαιροῦσι· σωκράτους, σωκράτεος· διομήδους· δημοσθένεος. Καὶ τὰς δοτικὰς δὲ μόνας διαιροῦσι· σωκράτεϊ λέγοντες καὶ διομήδεϊ καὶ πηλέϊ· ἀντὶ τοῦ σωκράτει καὶ διομήδει καὶ πηλεῖ· τὸ δ' αὐτὸ καὶ ἐπὶ οὐδετέρων· τείχεϊ· τείχει· ξίφεϊ. Καὶ τὰ εἰς αι πληθυντικὰ ὀνόματα· ὧν ἡ γενικὴ παρ' ἡμῖν καταλήγει εἰς ων περισπώμενος, ἐκεῖνοι διὰ τοῦ αων προφέρονται παροξυτόνως· κρῆναι κρηνῶν κρηνάων· πυλῶν πυλάων· μουσῶν μουσάων. Καὶ ἐπὶ τῶν ῥημάτων δὲ κατὰ τὸν ἐνεστῶτα καὶ παρεληλυθότα χρόνον καὶ διὰ τῶν αὐτῶν στοιχείων ἐκφέρουσι τὴν κλίσιν· ἄγω ἄγον· φέρω φέρον· ἐλαύνω ἔλαυνον· ὀρχοῦμαι ὀρχούμην· τρέχω τρέχον· λέγω λέγον.

Χρῶνται δὲ καὶ τοῖς ἀπαρεμφάτοις ἀντὶ προστακτικῶν· τανύσαι· τάνυσον, κεῖσαι, κεῖσον. Καὶ τοὺς σχηματισμοὺς δὲ τῆς ἑρμηνείας τοιούτους· τετραμμένοι εἰσὶ, τετράφαται· τεταμένοι εἰσὶ, τετάχαται· κέκλινται· κεκλίαται.

Καὶ τὰ ῥήματα δὲ τὰ ἐν λήγουσῃ περισπώμενα, διαιροῦσι· φρονῶ φρονέω· λαλῶ, λαλέω, νοῶ νοέω· χρυσέῳ ἀνὰ σκήπτρῳ, ἀργυρῶ ἀργυρέω. Καὶ τὰς μετοχὰς αὐτῶν ὁμοίως διαιροῦσι φρονέων· λαλέων· ποιέων. Ἡ δὲ τῶν διφθόγγων ἀκρίβεια παρ' αὐτοῖς, φυλάσσεται· ἡ μὲν οὖν ἀρχαία ἰὰς μετέπεσε παρὰ τῶν τῆς κατοικούντων παράλιον· διέμεινε δὲ ἕως ἐκείνων τῶν χρόνων· ὅτε ἐπῴκησαν οἱ ἴωνες τὰς ἀποικίας καὶ διεσπάρησαν εἰς πλείονας τόπους. Λέξεις δὲ παρ' αὐτοῖς, ὁ μὲν κλέπτης, κιττάλης· ἡ δὲ δύναμις, κράτος· ὁ δὲ λόγος, μῦθος, τὸ ὑγιαίνειν, οὐλεῖν· ὅθεν καὶ τὰ ὑγιῆ τῶν τραυμάτων, οὐλὰς λέγομεν ἔτι καὶ νῦν· τὸ δὲ αὐτῶν καὶ αὐτοῖς, σφῶν καὶ σφέων τὸ δὲ ὧν, ἑῶν· τὸ δὲ αὐτὸς ὠυτός· τὰς δὲ ἀντωνυμίας διαιροῦσιν, οὕτως· σφῶν σφέων· καὶ κατὰ παρένθεσιν τοῦ ι σφείων· ὑμέων.

ἡμείων· ὑμέων, ὑμείων, καὶ τὰ ὅμοια.

## ΠΕΡΙ ΔΩΡΙΔΟΣ.

Ἡ δωρὶς τῷ α ἀντὶ τοῦ η χρῆται· τὸν γὰρ ἥλιον, ἅλιον, λέγει· καὶ τὴν ἡμέραν, ἁμέραν· καὶ τὴν μητέρα ματέρα· καὶ τὰ ὅμοια. Τῷ α, ἀντὶ τοῦ ω χρῆται ἐπὶ τῶν γενικῶν πληθυντικῶν πτώσεων· μοῦσαν γὰρ λέγει καὶ θύραν καὶ θεάν· ἀντὶ τοῦ μουσῶν καὶ θυρῶν θεῶν. Τὰς εἰς ους ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας εἰς ευς τρέπει· οἷον διογένης διογενεῦς· ἀντὶ τοῦ διογένους. Τῷ ω στοιχείῳ ἀντὶ τῆς ου διφθόγγου χρῆται· τὰς γὰρ μούσας, μώσας λέγει. Τῷ η, ἀντὶ τῆς ει διφθόγγου χρῆται· ὡς ὅταν λέγῃ ἰδῆν ἀντὶ τοῦ ἰδεῖν. Τῷ σ, ἀντὶ τοῦ θ χρῆται· τοὺς γὰρ θεοὺς, σεοὺς λέγει· καὶ σεὸν τὸν θεόν. Τῶν λέξεων αἰεὶ τὸ ι ὑπεξαιρεῖται· λαβὲν γὰρ καὶ ἐλθὲν λέγει, ἀντὶ τοῦ λαβεῖν καὶ ἐλθεῖν. Ἐπὶ διπλασιασμοῖς τῶν αὐτῶν συμφώνων χρῆται· οἷον ὅττι, ὅπποθι, καὶ ὅσσον· ἀντὶ τοῦ ὅτι καὶ ὅποθι, καὶ ὅσον καὶ ἡ αἰολὶς δὲ χρῆται τούτοις. Αἱ ἐκτάσεις τῶν διχρόνων στοιχείων ἴδιαι τῆς δωρίδος· οἷον ἶσος γύναλιον. Τῷ α, ἀντὶ τοῦ ε πολλάκις χρῶνται· ἕτερος ἅτερος λέγοντες· καὶ ἄρτεμις ἄρταμις. Αἱ ἀποκοπαὶ δωριέων εἰσὶν ἴδιαι· γίνονται δὲ κατὰ τὸ τέλος· ἡμέτερον δῶ, ἀντὶ τοῦ δῶμα. Αἱ προσθέσεις τῆς με συλλαβῆς ἐπὶ τῶν παρ' ἡμῖν εἰς ναι ληγόντων ἀπαρεμφάτων, δωριέων εἰσίν· οἷον βήμεναι, ἀντὶ τοῦ βῆναι.

Αἱ ἐξαιρέσεις τοῦ δ καὶ τῶν πλαγίων ἑνικῶν πτώσεων· δωριέων εἰσί· παῖος ἀντὶ τοῦ παιδός· ὁμοίως κέραος ἀντὶ τοῦ κέρατος. Τῆς δωρίδος πολλαί εἰσιν ὑποδιαιρέσεις τοπικαί· ἄλλως γὰρ κρῆτες διαλέγονται· ἄλλως ῥόδιοι· καὶ ἄλλως ἀργεῖοι καὶ λακεδαιμόνιοι· καθολικὰ δέ ἐστιν αὐτῶν ἰδιώματα· ἀντὶ μὲν τοῦ η, τὸ α τιθέασι· πύλην πύλαν· ἀντὶ δὲ τῶν εἰς ων ληγουσῶν παρ' ἡμῖν γενικῶν πτώσεων περισπωμένων· διὰ τοῦ αν ἐκφέρουσι τηροῦντες τὸν τόνον· πυλῶν πυλᾶν, καλῶν καλ

λᾶν· σε

λᾶν· σεμνῶν· σεμνᾶν· καὶ ἐπὶ τῶν μετοχῶν ὁμοίως· γελῶν, γελᾶν· ἐλῶν, ἐλᾶν· καὶ τὴν ναῶν, νᾶν καλοῦσι· κλῆδας, κλάδας· καὶ νείκην νεῖκ. Καὶ τὰ μονοσύλλαβα ὀνόματα, βαρυτονοῦσιν οἱ Δωριεῖς· ὁμοίως δὲ καὶ τὰ ποιότητος δηλωτικὰ ἐπιρρήματα, κάλως σόφως· κόμψως, ἄλλως· τὰ δὲ ὑφ' ἡμῶν βαρύτονα περισπῶσιν· οὕτως· παντῶς· αὐτοματῶς. Καὶ τὰ εἰς οι λήγοντα πληθυντικὰ ὀνόματα κατὰ τὴν παραλήγουσαν τηροῦσι τὸν τόνον· φιλοσόφοι· τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν μετοχῶν· πωλουμένοι· καλουμένοι. Ὁμοίως δὲ καὶ τὰ εἰς ες λήγοντα θηλυκὰ ὀνόματα πληθυντικὰ ὀρθῆς πτώσεως, παροξυτονοῦσι· γυναίκες, χέιρες· νάες· ὀρνίθες. Ἔτι δὲ καὶ τὰ εἰς αν λήγοντα ἀπαρέμφατα, παροξυτονοῦσιν· ἐστάσαν· ἐφάσαν· ἐλύσαν· ἐδέιραν· ἐκράξαν. Καὶ τὰ εἰς ον λήγοντα παροξυτονοῦσι· ἐλάβον· ἐφάγον· ἐλέγον· ἐτρέχον· περισπῶσι δὲ τὰ τοιαῦτα παιδῶν· τρωῶν· παντῶν. Καὶ τὰ εἰς ω λήγοντα ῥήματα βαρύτονα ἐπὶ τοῦ μέλλοντος χρόνου, περισπῶσι· δωσῶ· θεραπευσῶ· νοησῶ· λαλησῶ· μιμησῶ. Καὶ ἐπὶ τρίτου προσώπου βαρύτονα ῥήματα εἰς ει λήγοντα μέλλοντος χρόνου, περισπῶσι· δωσεῖ· πεσεῖ· θεραπευσεῖ· λαλησεῖ. Λέγουσι καὶ τὸ δώσουσι, δωσοῦντι· καὶ τὸ λέξουσι, λεξοῦντι· καὶ τὸ ποιήσουσι, ποιησοῦντι. Συστέλλουσι δὲ καὶ τὰς εἰς ας πληθυντικὰς αἰτιατικάς· καὶ τὰς προσηγορίας δὲ καὶ μετοχὰς ὁμοίως· νυμφᾰς· κρηνᾰς· νοησᾰς· πράξᾰς. Καὶ τὰ διὰ τοῦ εῖν ἐκφερόμενα ἀπαρέμφατα, καθυφαίρεσιν τοῦ ι λέγουσι· φρονεῖν, φρονέν· ἰδεῖν, ἰδέν· φαγεῖν φαγέν. Λέγουσι δὲ καὶ τὰς εἰς ου γενικὰς διὰ τοῦ ω· οἴκου, οἴκω· σοφοῦ, σοφῶ· καλοῦ, καλῶ. Καὶ τὰς αἰτιατικὰς πληθυντικὰς ἀρσενικὰς, εἰς ους ἐκφερομένας, διὰ τοῦ ως· τοὺς καλοὺς, τῶς καλῶς· τοὺς σοφοὺς, τοὺς σοφῶς· τῶς ἀνθρώπως· τῶς ἵππως. Καὶ τὰ προστακτικὰ ῥήματα τὰ ἐκφερόμενα διὰ τοῦ ε, διὰ τοῦ ον ἐκφέρουσι· λάβε, λάβον· θίγε, θίγον· δράμε, δράμον. Σικελοὶ δὲ τὴν χύτραν, κύτραν λέγουσι· καὶ τὸν χιτῶνα, κιτῶνα· τὴν μρα̑,

δελφύαν καὶ τὴν γυναῖκα, γυνήν. Κρῆτες δὲ τὸ διαπαντὸς, αἰές· τὸ αὐτοῦ, αὐτεῖ· βέλτιον, βέλτειν· ἦλθεν, ἦνθεν· εἰς τὸν χορόν, ἐν χορόν· εἰς τὴν ἀγορὰν, ἐς τὰν ἀγοράν· τὸ ἔα, ἔβα· τὸ ἔασον, ἔβασον· τὸ ἦν, ἦς· τὸ εἴωθα, ἤθω· τὸ ὠχεῖσθαι, ὀδοῦ· θουκυδίδης, θωκυδίδης· θεοκράτης, θωκράτης· θεόφραστος, θώφραστος· ἀντὶ τοῦ θουκυδίδης, θεοκράτης, θεόφραστος· τὰ δὲ κρέα, κρῆ· τὸ ἄκρατον, ἄκρητον· κείκον, κίρκον· τὸ κελεύει, κέλεται· τὸ καταβαλεῖν, καββαλεῖν· σωροὺς ἀχύρων, μύχωνας· οἴκαδε, οἴκαδις· ὄρνιθες, ὄρνιχες· χεῖρον, χῆρον· στάδιον, σπάδιον· κεῖνος, κῆνος· σύ, τύ. Καὶ ἀντὶ τοῦ λέγουσι καὶ φέρουσι, λέγοντι καὶ φέροντι· τὸ μὲν, μές· καὶ ταύτας, τούτας· καὶ τὸ πρὸς, πορτί· καὶ πότε, πόκα· τῆμος, ἆμος· δῆμος, δᾶμος· θεὸν, σιόν· οἶνον, ὦνον· βουλὴν, βωλάν. Διαφέρει δὲ ἡ τῶν κρητῶν διάλεκτος ἧ νῦν κέχρηται Κυψέλας· καὶ ἡ τῶν λακώνων, ἧ κέχρηται Ἀλκμαίων· Σώφρων· ἡ μέντοι πινδάρου καὶ Ἰβύκου καὶ Σιμωνίδου καὶ Βακχυλίδου, παντελῶς ἀνειμένη· διὰ τὸ μὴ δύνασθαι εἰσαγαγεῖν τῇ φύσει τοὺς ποιητάς· χρῆσθαι δὲ μόνον τῇ διαλέξει.

## ΠΕΡῚ ΤΗ͂Σ ΑἸΟΛΊΔΟΣ.

Τὸ β, τῷ ρ προσνέμειν εἰώθασι προσφορᾶς ὅταν τὸ ρ ἐπιφέρηται κατὰ ἀρχὴν τῆς λέξεως· βρυτὴρ ἀντὶ τοῦ ῥυτήρ· βράκος ἀντὶ τοῦ ῥάκος· βρόδον ἀντὶ τοῦ ῥόδον. Ἡ αἰολὶς τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γενικὰς διαιρεῖ καὶ διὰ τοῦ α προφέρεται· οἷον νύμφαι, νυμφάων· θύραι, θυράων· μελισσάων· ὀρχομενιάων· πυλάων· καὶ τὰ ὅμοια.

Αἱ συγκοπαὶ, αἰολέων εἰσὶν ἴδιαι· γίνονται δὲ κατὰ μέσον· οἷον ὦρσε, ἀντὶ τοῦ ὥρμησεν. Αἱ προσθέσεις τῆς θα συλλαβῆς ἐπὶ τῶν ὑποτακτικῶν ῥημάτων δευτέρων προσώπων εἰς σ ληγόντων, αἰολέων εἰσίν· εἴπῃσθα ἀντὶ τοῦ εἴπῃς· καὶ ἐθέλῃσθα, ἀντὶ τοῦ ἐθέλῃς.

Αἱ προσθέσεις τοῦ υ τῷ ε ἐπιφερομένου φωνήεντος, αἰολέων εἰσί· οἷον χεύαντες, ἀντὶ τοῦ χέαντες. Τὰ εἰς αις μονοσύλλαβα ὀνόματα, διαιρεῖ· πάϊς· δάϊς ἀντὶ τοῦ παῖς, δαΐς. Τῷ ω στοιχείῳ, ἀντὶ τῆς ου διφθόγγου χρῶνται· μῶσαι, ἀντὶ μοῦσαι· λείπωσαι ἀντὶ τοῦ λείπουσαι. Τῷ υ ἀντὶ τοῦ ο στοιχείῳ χρῶνται· τὸ δὲ ὅμοιον,

ὕμοιον λέγει. Τῷ η ἀντὶ τῆς ει διφθόγγου χρῶνται· ἐλθῆν γὰρ λέγει, ἀντὶ τοῦ ἐλθεῖν. Τὰ ἀμετάβολα διπλασιάζει, καὶ τὸ σ μόνον· οἷον ἐξέρω, ἐσσερῶ· ἐγέναρ, ἐγγύναρ· πενθήσῃς, πενθήσσῃς· τόσον, τόσσον· τοσοῦτον, τοσσοῦτον· τὸ ὅπη καὶ ὅππως, κοινόν ἐστιν· ἡ γὰρ κοινή, τὰ ἀναφορικὰ διπλασιάζει· οἷον ὁποῖος ὁπποῖος· ὅσος, ὅσσος. Ἀεὶ τῆς αι διφθόγγου τὸ ι ἐκβάλλουσιν ὅταν αὐτῇ ἐπιφέρηται σύμφωνον· οἷον ἀλκαῖος, ἄλκαος. Τῷ π ἀντὶ τοῦ μ χρῶνται· τὰ γὰρ ὄμματα, ὄππατα λέγει. Τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ ι ἐπὶ δευτέρου καὶ τρίτου προσώπου ἀνεκφώνητον ὂν παρὰ ταῖς ἄλλαις διαλέκτοις, ἐκφωνεῖται· οἷον, βοάις· βοάι. Τὰς κλητικὰς τῶν εἰς ων ληγόντων εὐθειῶν, συστέλλουσι· χελιδών, χελιδόν· μακεδών, μακεδόν· ἀπόλλων, ἄπολλον. Οἱ αἰολεῖς ἔθος ἔχουσιν ἀντὶ μὲν α, τὸ ο τιθέναι· θράσεως, θρόσεως· στρατός, στροτός· ἄνω, ὄνω· ἀνέληται, ὀνέληται· ἀνεχώρησεν, ὀνεχώρησεν· σαλεῖς, σολείς. Ποτὲ δὲ τὸ ε ἀντὶ α· κράτος, κρέτος· πρίαμον, πέραμμον· γαλήνη, γελήνη· ἀὴρ, ἤηρ. Ποτὲ δὲ προστιθέασι τῷ α τὸ υ· ναὸν, ναυόν· ἀήρ, αὐήρ· ἄως, αὔως. Ἀντὶ δὲ τοῦ δ, τὸ ζ· διαβάλλειν, ζαβάλλειν· διανυκτὸς, ζανυκτός. Ἀντὶ δὲ τοῦ ε, τὸ α ἢ τὸ υ· κρέας, κρῆς. Δεῖ δὲ γινώσκειν ὅτι ἐπὶ τινῶν τοῦτο ποιοῦσι· καὶ οὐκ ἐπὶ πάντων· ἀδύνατον γάρ.

Ἀντὶ δὲ τοῦ ζ, τιθέασι σ καὶ δ· ζεὺς, σδεύς· ζυγὸν, σδυγόν· μελίζειν, μελίσδειν. Ἀντὶ δὲ τοῦ η τὸ ε ἢ τὸ α, κοινῶς τοῖς δωριεῦσι· καὶ τὸ μὲν ἄρης, ἄρες· ἀρήιον, ἀρέϊον· τὸ δὲ η, ἑκάβην, ἑκάβαν· πύλην, πύλαν· ἥρην, ἥραν· νόημα, νόαμα· ἠὼς, ἀώς· ἀπάτην, ἀπάταν· ἀδικῆσαι, ἀδικέσαι. Ἀντὶ δὲ τοῦ θ, τὸ φ· θλᾶται, φλᾶται. Ἀντὶ δὲ τοῦ μ, τὸ π· μετιμοῦ, πετιμοῦ· ὄμματα, ὄππατα. Ἀντὶ δὲ τοῦ ξ, τιθέασι κ καὶ σ· ξένος, σκένος· ἱέραξ, ἱέρακς. Ἀντὶ δὲ τοῦ ο, τὸ υ· ὀμφαλὸς, ὑμφαλός· μόγις, μύγις· ὅμοιον, ὕμοιον. Ποτὲ δὲ καὶ τὸ ε· πρὸς σὲ, πρὲς σέ· ἢ α· ὅσα, ἄσα. Ἀντὶ δὲ τοῦ π τὸ μ.

πατεῖς, ματεῖς· πατοῦσα, ματοῦσα. Ἀντὶ δὲ τοῦ πτ, δύο ππ· ἐμπίπτειν, ἐμπίππειν ϗ. Ἀντὶ δὲ τοῦ σ, τὸ τ· σύ, τύ· εἰς σέ, εἰς τέ. Ἀντὶ τοῦ τ, τὸ π· στολὴ, σπολλώ· σταλεὶς, σπαλείς· τέτραπται, πέπραπται. Ἀντὶ δὲ τοῦ υ, τὸ ι· ὑψηλὸν, ἰψηλόν· ὑψόθεν, ἰψόθεν· ὕπαρ, ἴπαρ. Ἀντὶ δὲ τοῦ χ, τὸ φ· αὐχένα, αὐφένα. Ἀντὶ δὲ τοῦ ψ, τὸ π καὶ σ· πέλοψ, πέλοπς· ἄραψ, ἄραπς. Ἀντὶ δὲ τοῦ ω, τὸ ο· ὥρα, ὄρα· ὠτειλὴ, ὀτειλή. Ὅσα δὲ διὰ τῆς ει διφθόγγου παρ' ἡμῖν λέγεται, αὐτοὶ διὰ μόνου τοῦ ε πολυπλασιαζόμενοι προφέρονται· ποιοῦσι δὲ ἐκ τοῦ μόνου δύο σύμφωνα· χείρεσσι, χέρρεσιν· ἱμείρων, ἰμέρρων· ὠτειλὰς, ὀτελλάς· εἵματα, ἔμματα· ἡμῖν, ἄμμιν· ὑμεῖς, ὔμμες· κτεῖναι, κτάνναι· ἤπειρον, ἄπερρον. Καὶ ἔτι τὴν ει δίφθογγον πολλάκις εἰς τὴν οι ποιοῦσιν· ὄνειρον, ὄνοιρον· τὸν δὲ οἶνον, ἔοινον ϗ. ※ Ἔθος δὲ ἐστὶν αὐτοῖς τῶν φωνηέντων προτιθέναι τὸ δίγαμμα. λέγουσι δὲ τὰ πλείονα διπλασιάζοντες· οἵτινες, ὅττινες· σελήνη, σελλάνα· πρόσωπα, προσώππα· κατέπεσον, κάππεσον· ὁπόθεν, ὁππόθεν· καὶ τάδε, κάδδε· ὅτι, ὅττι. ※ Τὰ δὲ ἀρχόμενα παρ' ἡμῖν ἀπὸ τοῦ ρ, αὐτοὶ προτιθέασι τὸ β, ἵνα ψιλὸν γένηται· ῥόδα, βρόδα· ῥαδάμανθυς, βραδάμανθυς· ῥυτῆρες, βρυτῆρες. Ἰδίως δὲ οὗτοι ὅσα παρ' ἡμῖν δασύνεται ἢ ὀξυτονεῖται, ψιλῶς λέγουσι καὶ βαρυτόνως· ὅσιος· οὗτος· ὅρος· ὅρμος. Τηροῦσι δὲ καὶ τὴν ψιλότητα ἐν ταῖς συναλοιφαῖς· καθῆκε, κατῆκε· ἀφῆκεν, ἀπῆκεν· ἀφείλκυσεν, ἀπείλκυσεν. Βαρυτονοῦσι δὲ, οὐ μόνον ϗ τὰ ὀνόματα, ἀλλὰ καὶ τὰ ἄρθρα ὅταν ὀνομάτων τάξιν ἐπέχῃ· ὁσσὸς, ὄσσος· ποσσὸν, πόσσον· ἡσὴ, ἤση· τῆς σῆς, τήσης. Ὅταν δὲ ἀντωνυμιῶν ἐκφέρωσι, περισπῶσιν· ἐμοῦ, ἐμῶ. Περισπῶσι δὲ ὡς ἐπίπαν τὰ μονοσύλλαβα· ἢ εἰς ωξ λήγοντα· ῥῶξ· πτῶξ· δρῶψ· ἢ εἰς ους· ῥοῦς· θροῦς· βοῦς· μοῦς· χῆν· ζῶς. Τὰ δὲ δισύλλαβα ὀξυτόνως παρ' ἡμῖν λεγόμενα, αὐτοὶ βαρυτονοῦσι.

σόφος· κάλος· λεῦκος· ὄξυς· κόπις· θύεις· ἄκις· ἄπις· βρῶμος· τράχυς· θῦμος· σκλῆρος· χῶλος. Ἔθος δὲ ἔχουσι καὶ τὰ προσηγορικὰ βαρύνειν· εἰρώνη· ὥρα· ἡμέρα· καὶ τὰ κύρια· ἀφροδίτα· ἥρα· ἑλένα. Ὅσα δὲ ἡμεῖς εἰς τὰ θηλυκὰ διὰ τοῦ δ κλίνομεν· ἀρτέμιδος· θέτιδος· μήνιδος, αὐτοὶ χωρὶς τοῦ δ λέγουσιν· ἀρτέμιος, θέτιος· μήνιος. Τῶν δὲ εἰς ης ὀνομάτων τὴν κλητικὴν εἰς ες, δίχα τοῦ σ λέγουσι· Σώκρατε· Ἀριστόφανε· Δημόσθενε. Καὶ τῶν γενικῶν δὲ πτώσεων, τὸ σ ἀφαιροῦσι· Σωκράτου· Διομήδου· Σοφοκλέου. Ἀντὶ δὲ αἰτιατικῆς δοτικὴν παραλαμβάνουσιν ἐν τοῖς παθητικοῖς· τοῖς θεοῖς, ἀντὶ τοῦ τοὺς θεούς· τοῖς ἀγροῖς, ἀντὶ τοῦ τοὺς ἀγρούς· τοῦτο δὲ ποιοῦσι, διὰ τὸ χρῆσθαι αὐτοὺς τῷ ι ἀντὶ τοῦ υ. Τὴν δὲ αἰτιατικὴν διὰ τοῦ ως· τὼς ἵππως, ἀντὶ τοὺς ἵππους. Τὴν δὲ δοτικὴν τῶν πληθυντικῶν, σὺν τῷ ι ποιοῦσι· τοῖσι θεοῖσι· σοφοῖσιν· ὁμοίως τοῖς δωριεῦσι. Τὰ δὲ ἀπαρέμφατα ῥήματα ποιοῦσιν ἀπὸ τῶν εἰς ων ληγόντων μετοχῶν τὰ καταλήγοντα εἰς ειν, αὐτοὶ εἰς εις μεταβάλλουσι· νοῶν, νοεῖν, νόεις· φρονῶν, φρονεῖν, φρόνεις· καλῶν καλεῖν, κάλεις. Ὅταν δὲ ἀπαρέμφατα παρ' ἡμῖν λήγει εἰς αν, αὐτοὶ εἰς αις μεταβάλλουσι· γελᾶν, γέλαις· πεινᾶν, πείναις. Τὰ δὲ εἰς ουν καταλήγοντα ἀπαρέμφατα, αὐτοὶ διὰ τῆς οις ἐκφέρονται· ὀρθοῦν, ὄρθοις· γυψοῦν γύψοις· χρυσοῦν, χρύσοις· ταῦτα δὲ πάντα, βαρυτόνως προφέρονται. Τάσσουσι δὲ καὶ τὸ ην, ἀντὶ τοῦ ειν ἐπὶ τῶν ἀπαρεμφάτων· φιλεῖν· φίλην· καλεῖν, κάλην· φρονεῖν, φρόνην. Τὰ δὲ εἰς ω καταλήγοντα παρ' ἡμῖν ῥήματα, ἔνια Χ ἀντὶ ὁριστικῶν, ὡκτικῶν ποιοῦσιν· οἷον νοῶ, νόημι· φιλῶ, φίλημι. Ὅσαι δὲ μετοχαὶ ὀξύτονοι εἰς ως καταλήγουσι, διὰ τοῦ ν παρ' ἐκείνοις λέγονται· εἰρηκώς, εἰρήκων· νενοηκώς, νενοήκων. Φυλάττουσι δὲ καὶ τὰς ἀπὸ τούτων κλίσεις ἀναλόγως τῇ προθέσει. Λέγεται δὲ παρ' αὐτοῖς τὸ χρυσίον, χρύσιον· τὸ δὲ ταύρω ταύρες· ὁ δὲ πούς, πέζα.

ὁ παῖς, πάϊς· τὸν ἔρωτα· ἔρων· τὸν γέλωτα, γέλων· ὁ παρμὸς, πόρμος· τὸ ὑπόρσε, ὑπέρσε· τὸ ἐπαινῶ, αἴνημι· τὸ χείρονα, χέῤῥονα· τὸ δάπεδον, ἐδάπεδον· τὸ ἔστρωται, ἐστόροται· τὸ αὐὴρ, δρέκων, ὁ δὲ θὴρ, δράκων· Τὰ ἱμάτια, ἔμματα· ἡμία, ἴα· ἡ ψῆφος, ψάφαξ· ἡ ἰσχὺς καὶ ἀσθενὴς, ἄκιρα· τὸ ἐγὼ, ἐγών· τὸ σὺ, τύ· τὸ ἡμῖν, ἄμμιν· τὸ ἡμεῖς, ἄμμες· τὸ ἐνθάδε, τύδε· τὸ ἄλλοσε, ἑτέροσε· κέχρηται δὲ αὐτῇ Ἀλκαῖος καὶ Σαπφώ.

ΤΈΛΟΣ

✠
Ο
✠ Ο ✠ Ο ✠
Ο
✠